www.tezaurliturgic.ro

ΤΟΥ ΟΣΙΟΥ ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΛΑΥΡΕΝΤΙΟΥ

ΤΟΥ ΕΝ ΤΗι ΝΗΣΩι ΣΑΛΑΜΙΝΙ

*Κτίτορος τῆς αὐτόθι Ἱ. Μονῆς «ΦΑΝΕΡΩΜΕΝΗΣ»*

## ΒΙΟΣ ΚΑΙ ΑΣΜΑΤΙΚΗ ΑΚΟΛΟΥΘΙΑ

ΕΠΟΙΗΘΗ ΕΝ ΑΓΙΩι ΟΡΕΙ

ΥΠΟ ΓΕΡΑΣΙΜΟΥ ΜΟΝΑΧΟΥ ΜΙΚΡΑΓΙΑΝΝΑΝΙΤΟΥ

*Ὑμνογράφου τῆς Μεγάλης τοῦ Χριστοῦ Ἐκκλησίας*

ΕΚΔΟΣΙΣ

ΙΕΡΑΣ ΜΗΤΡΟΠΟΛΕΩΣ ΜΕΓΑΡΩΝ ΚΑΙ ΣΑΛΑΜΙΝΟΣ

ΕΝ ΑΘΗΝΑΙΣ 1984

www.tezaurliturgic.ro

*χάριν παιδιᾶς, ἐσκόπευσαν δι' ὀβίδων ἀπὸ τοῦ Μεγάλου Πεύκου τὸ ἀσκητήριον τοῦ Ὁσίου Λαυρεντίου, τὸ ὁποῖον ἐντὸς βραχυτάτου χρονικοῦ διαστήματος ἀνετινάχθη, καλυφθὲν ὑπὸ συννέφου κόνεως. Παρὰ ταῦτα ἔμεινεν εἰς τὴν θέσιν της ἡ κόγχη τῆς ἀνατολικῆς πλευρᾶς τοῦ ναϋδρίου τοῦ Προφήτου Ἠλιοῦ, ἐν ᾗ ὑπῆρχεν εἰκὼν τῆς Θεοτόκου καὶ ἀνημμένον κανδήλιον τὸ ὁποῖον, παραδόξως καὶ αὐτό, ἔμεινεν ἄσβεστον!*

*Τὸ περίεργον τοῦτο φαινόμενον οἱ ἀρνηταὶ θὰ τὸ ὀνομάσουν μοιραίαν σύμπτωσιν καὶ οἱ ἐχέφρονες «θαῦμα». Θαῦμα τὸ ἐθεώρησαν καὶ οἱ σκοπευταὶ Γερμανοὶ στρατιῶται, οἱ ὁποῖοι ἑκουσίως ἐπανέκτισαν τό τε κελλίον καὶ τὸ ναΰδριον!*



*Μαρτίου ζ'.*

Μνήμη τοῦ Ὁσίου καὶ θεοφόρου Πατρὸς ἡμῶν Λαυρεντίου τοῦ ἐν τῇ νήσῳ Σαλαμῖνι.

ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

Ἱστῶμεν στίχους δ'. καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια

Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου.

Ὅτε σοι ἐπέστη μυστικῶς, ὄψει ἐπαλλήλως ἁγίᾳ, ἡ Θεοτόκος Ἁγνή, τότε ὡς θεράποντι θείῳ σοι Ὅσιε, τὴν αὐτῆς ἀπεκάλυψε, θείαν εὐδοκίαν, ᾗ διακονούμενος, Πάτερ Λαυρέντιε, εὗρες ὑπὸ γῆν κεχωσμένην, τὴν ἁγίαν ταύτης Εἰκόνα, ἣν Φανερωμένην ἐπωνόμασας.

Ὅτε ἐκ Μεγάρων θαυμαστῶς, τῷ σῷ ἐπιβὰς ἐπενδύτῃ οἷά περ δοῦλος Χριστοῦ, πλεύσας δὲ τὴν θάλασσαν ἀβρόχως Ὅσιε, παραδόξως κατέλαβες, τὴν τῆς Σαλαμῖνος, νῆσον τῷ προστάγματι, εἴκων τῷ ἄνωθεν, τότε ἐν αὐτῇ ἀνεγείρεις, πόνοις, τῆς Ἁγνῆς Θεοτόκου, τὴν περιφανῆ Μονὴν Λαυρέντιε.

Τύπος ἐναρέτου ἀγωγῆς, καὶ ἀσκητικῆς πολιτείας, λαμπρὸν ὑπόδειγμα, Ὅσιε Λαυρέντιε, ὤφθης τῷ βίῳ σου, ὡς τῆς χάριτος σκήνωμα, τῆς τοῦ Παρακλήτου, τοῖς συνασκουμένοις σοι, ἐνθέῳ ἔρωτι· ὅθεν καὶ θαυμάτων τὴν χάριν, παρὰ τοῦ Θεοῦ δεδεγμένος, σώζεις τοὺς πιστῶς σοι προσπελάζοντας.

Χαίροις τῶν Μεγάρων ὁ βλαστός, καὶ τῶν ἀπ' αἰῶνος Ὁσίων, ὁ ἰσοστάσιος, Ὅσιε Λαυρέντιε, τῆς σῆς Μονῆς ἡ χαρά· ἐν τῇ σῇ γὰρ κρατύνεται, θείᾳ προστασίᾳ, καὶ μετὰ τὴν Πάναγνον,

www.tezaurliturgic.ro

σκέπην σε κέκτηται· ὅθεν καὶ τὴν θείαν σου κάραν, οἷά περ πολύτιμον δῶρον ἔχουσα γεραίρει τοὺς ἀγῶνάς σου.

Δόξα. Ἦχος β'.

Βίον ἔνθεον κτησάμενος, τῶν ἀρετῶν συγκομίζεις τὰ δράγματα, καθαρωτάτῃ ψυχῇ, θεόφρον Λαυρέντιε· ὅθεν ἐν σοί ηὐδόκησεν ἡ βουλὴ τοῦ κρείττονος, καὶ κεκρυμμένης χάριτος μυσταγωγὸς καὶ διάκονος θεοφόρος ἐδείχθης· καὶ κατ' ἀξίαν πολιτευσάμενος, τῆς τῶν Ἁγίων στάσεως ἐν οὐρανοῖς ἠξίωσαι· μεθ' ὧν ἱκέτευε Πάτερ, ὑπὲρ τῶν τιμώντων σε.

Καὶ νῦν. Θεοτοκίον.

Τὴν πᾶσαν ἐλπίδα μου....

Ἀπόστιχα.

Ἦχος β'. Οἶκος τοῦ Ἐφραθᾶ.

Ὤφθη σοι θαυμαστῶς, ἡ Θεοτόκος Κόρη, μυσταγωγοῦσα, Πάτερ, ὡς ἂν διακονήσῃς, τῇ ταύτης θείᾳ χάριτι.

Στίχ. Τίμιος ἐναντίον Κυρίου...

Σκεῦος τῶν ἀρετῶν, Λαυρέντιε ὑπάρχων, σπουδῇ πολλῇ ἐγείρεις, τὴν πάλαι πεπτωκυῖαν, Μονὴν τῆς Θεομήτορος.

Στίχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον...

Κάρα σου ἡ σεπτή, τῇ δωρεᾷ τῇ θείᾳ χαριτωθεῖσα Πάτερ, ὀσμὴν τὴν οὐρανίαν, παρέχει ταῖς ψυχαῖς ἡμῶν.

Δόξα. Τριαδικόν.

Φύσις ἡ τριλαμπής, Πάτερ, Υἱὲ καὶ Πνεῦμα, ἐλέησον τὸν κόσμον, πρεσβείαις Λαυρεντίου, τοῦ θείου σου θεράποντος.

Καὶ νῦν. Θεοτοκίον.

Ὅλος καταυγασθείς, Παρθένε τῇ σῇ δόξῃ, Λαυρέντιος ὁ θεῖος, ἐκ κόλπων γῆς τὴν θείαν, Εἰκόνα σου ἐξείλετο.

*Νῦν ἀπολύεις*, τὸ τρισάγιον, τὰ Ἀπολυτίκια ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καὶ ἀπόλυσις.



## ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Μετὰ τὸν Προοιμιακόν, τὸ Μακάριος ἀνήρ. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους στ' καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια τοῦ Ὁσίου.

Πάτερ Λαυρέντιε Θεόν, ἐκ ψυχῆς ἠγάπησας, καὶ πρὸς αὐτὸν τὴν διάνοιαν, ὅλην ἀνέτεινας· ὅθεν ἐπληρώθης, θείας ἐπιλάμψεως, καθάρας σου τὸν νοῦν πάσης Ὅσιε, προσύλου σχέσεως, τῇ ἀμέμπτῳ πολιτείᾳ σου, καὶ Ἁγίων, ὤφθης ἰσοστάσιος.

Πάτερ Λαυρέντιε τὸν νοῦν, καθαρὸν κτησάμενος, τὴν Θεοτόκον τὴν Ἄχραντον, ἰδεῖν ἠξίωσαι, μυστικῇ ἐμφάσει, ἐπαλλήλως Ὅσιε, καὶ ταύτης ἐκπληρῶν τὸ ἐπάγγελμα, χαίρων ἀνεύρηκας, ὑπὸ γῆν οὖσαν τὸ πρότερον, τὴν ἁγίαν, Εἰκόνα καὶ πάνσεπτον.

Πάτερ Λαυρέντιε τὸν σόν, ἐπενδύτην, ἥπλωσας ἐπὶ θαλάσσης καὶ ἔπλευσας, ὢ ξένου θαύματος! ἐκ τῆς Μεγαρίδος, πίστεως τῇ χάριτι, ἐπὶ τὴν Σαλαμῖνα ὡς ἄγγελος, ἐν ᾗ ἀνήγειρας, τὴν Μονὴν τῆς Θεομήτορος, ὡς δοχεῖον, τοῦ Ἁγίου Πνεύματος.

**Προσόμοια ἕτερα.** Ἦχος β'. Ποίοις εὐφημιῶν.

Ποίοις εὐφημιῶν στέμμασιν, ἀναδήσωμεν τὸν θεοφόρον; τὸν ἐκ τῶν Μεγάρων βλαστήσαντα, καὶ ἐν Σαλαμῖνι ἐκλάμψαντα, βίου ἰσαγγέλου τῇ ἀσκήσει· τὸν μύστην, τῆς Θεοτόκου τὸν θεόληπτον· τῶν πάλαι, ὁσίων τύπον ἐνθεώτατον· τὴν γὰρ αὐτῶν πολιτείαν, ζήλῳ οὐρανίῳ, μιμησάμενος ἀληθῶς, τῆς τούτων ἠξίωται, εὐκληρίας καὶ λαμπρότητος.

Ποίοις πνευματικοῖς ᾄσμασιν, ἀνυμνήσωμεν τὸν θεοφόρον; τὸν ἐκλελεγμένον ὡς ἄξιον, παρὰ τῆς Ἁγνῆς Θεομήτορος, ἧς τῇ εὐδοκίᾳ ἐδοξάσθη· τὸν θεῖον, καὶ οὐρανόφρονα Λαυρέντιον,

www.tezaurliturgic.ro

τὸν πλήρη, τῆς ἐπιπνοίας τῆς τοῦ Πνεύματος· τῶν ἀρετῶν τὸ ταμεῖον, καὶ ὁσίων ἔργων, ὑποτύπωσιν ἀληθῆ· τὸν πᾶσιν αἰτούμενον, ἐκ Θεοῦ τὸ μέγα ἔλεος.

Ποίοις ἀσματικοῖς μέλεσιν, εὐφημήσωμεν τὸν θεοφόρον; τὸν τῇ πολιτείᾳ ἰσάγγελον, καὶ τῇ ταπεινώσει θεόληπτον· τὸν Μονῆς δομήτορα ἁγίας· ἐν ᾗ περ, στήλην σαὐτὸν λαμπρῶς παρέστησεν, ἀγώνων, ἀσκητικῶν καὶ θείων πράξεων, τοῖς σὺν αὐτῷ ἀσκουμένοις, λόγῳ τε καὶ ἔργῳ, καὶ ἱδρῶσιν ἀσκητικοῖς, καὶ θείοις χαρίσμασι, Σαλαμῖνα ἁγιάσαντα.

Δόξα. Ἦχος πλ. β'.

Σήμερον ὡς ἔαρ νοητόν, τῶν ἀρετῶν τὰ ἄνθη ἐπιφέρουσα, ἡ τοῦ Ὁσίου Λαυρεντίου ἐπέστη μνήμη, ἡμᾶς εὐφραίνουσα· δεῦτε οὖν, τῆς ἐν αὐτῇ τρυφῶντες χάριτος, φαιδρῶς ἑορτάσωμεν, πρὸς αὐτὸν βοῶντες· χαίροις ὁ τοῦ Σωτῆρος ἀκολουθήσας τοῖς ἴχνεσι, τὸν σὸν Σταυρὸν ἀράμενος, ὁλοτρόπῳ καρδίᾳ· χαίροις ὁ τῆς Θεοτόκου χρηματισθεὶς τῇ ὄψει, καὶ πιστῶς λειτουργήσας, τῇ σεπτῇ αὐτῆς κελεύσει· χαίροις ὁ τῶν Μεγάρων βλαστός, τῆς Σαλαμῖνος κλέος, καὶ τῆς οἰκείας Μονῆς στῦλος καὶ ἑδραίωμα. Ἀλλ' ὦ παμμάκαρ Λαυρέντιε, συνὼν ταῖς ἄνω τάξεσι, σὺν αὐταῖς δυσώπει, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Ὁ αὐτός.

Τίς μὴ μακαρίσει σε, Παναγία Παρθένε, τὶς μὴ ἀνυμνήσει σου τὸν ἀλόχευτον τόκον ; ὁ γὰρ ἀχρόνως ἐκ Πατρός, ἐκλάμψας Υἱὸς Μονογενής, ὁ αὐτὸς ἐκ σοῦ τῆς Ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθείς, φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι' ἡμᾶς, οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ' ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος. Αὐτὸν ἱκέτευε, σεμνὴ παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἴσοδος, Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα.



Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

(Κεφ. γ', 1).

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτῷ συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

(Κεφ. ε'. 15)

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα, δικαιοσύνην· καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ρομφαίαν· συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου, τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται· καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ριφήσονται χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης· ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως· ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ

www.tezaurliturgic.ro

ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, βασιλεῖς, καὶ σύνετε· μάθετε δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν. Ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

(Κεφ. δ'. 7)

Δίκαιος, ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον, οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως, βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη· καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ρεμβασμὸς ἐπιθυμίας μεταλλεύσει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον. Ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Εἰς τὴν Λιτήν, Ἰδιόμελα

Ἦχος α'.

Εὐφραίνου ἐν Κυρίῳ, ἡ πόλις Μεγαρέων, καὶ Σαλαμὶς ἡ ἐξάκουστος, τῇ τοῦ Ὁσίου Λαυρεντίου, λαμπρυνόμεναι χάριτι· ἡ μὲν τούτου τὰ σπάργανα, ἐν κόλποις κατέχουσα, ἡ δὲ ὡς ἄγγελον καὶ πηγὴν εὐλογίας αὐτὸν δεξαμένη· πλέον δὲ τέρπου ἐν Θεῷ ἡ ἁγία αὐτοῦ Μονή, ὡς θησαυρὸν πλουτοῦσα, τὴν σεπτὴν αὐτοῦ κάραν· καὶ τῶν πρεσβειῶν αὐτοῦ τὰς δόσεις, ἡμεῖς ἀπολαύοντες, τῷ Σωτῆρι βοήσωμεν· Κύριε δόξα σοι.

Ἦχος β'.

Τῶν ἐντολῶν τὴν ὁδὸν πορευόμενος, πρᾶος καὶ σώφρων καὶ μέτριος, καὶ ταπεινὸς τῇ καρδίᾳ, ἐν ἁπλότητι ψυχῆς, ἐχρηματίσας Πάτερ· καὶ χρηματισμὸν θεῖον δεξάμενος, ἀπ' οὐρανοῦ μυστικῶς, ὑπηρέτης θείου θελήματος, καὶ τῆς ἐν πνεύματι ζωῆς ἐραστὴς ὤφθης ἀληθής· πρᾶξιν γὰρ ταῦτα θέμενος, πᾶσιν ἐνέφηνας, τὴν ἐν σοὶ λαμπρότητα· δι' ἧς στέφανον δόξης ἐδέξω, Ὅσιε Λαυρέντιε, ἐν ταῖς τῶν Ἁγίων σκηνώσας λαμπρότησιν, ἀεὶ ἡμῖν αἰτούμενος, ἱλασμὸν καὶ θεῖον ἔλεος.



Ἦχος γ'.

Ἀσκητικῶς ἀγωνισάμενος, ναὸν Θεοῦ ἐτέλεσας, ἐπιμελείᾳ θείων πράξεων, τὴν σὴν καρδίαν Ὅσιε· ἔνθεν ναὸν ἱερόν, τῇ τοῦ Θεοῦ ἡμῶν Μητρί, ὑπ' αὐτῆς ὁδηγηθείς, μυσταγωγίᾳ κρείττονι ᾠκοδόμησας· καὶ φροντιστήριον ψυχῶν, ὡς πλήρης θείου φωτὸς συστησάμενος, ἐναρέτου ζωῆς ἐδείχθης εἰκών, καὶ δωρεᾷ θαυμάτων δεδόξασαι. Ἀλλ' ὦ Πάτερ Λαυρέντιε, τῷ ἀστέκτῳ θρόνῳ παριστάμενος, ἱκέτευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος δ'.

Τῶν ἀρετῶν τῷ φωτί, λαμπρυνθεὶς τὴν ψυχήν, τὴν Θεοτόκον ἠξίωσαι ἰδεῖν, ὡς καθαρὸς τὴν καρδίαν, θεοφόρε Λαυρέντιε· τοῦ γὰρ θείου μακαρισμοῦ πληρωτὴς ἐδείχθης, τὴν ἐξ αὐτοῦ δεξάμενος χάριν· καὶ τῇ ταύτης ὀμφῇ, μυηθεὶς τὰ πρακτέα τὴν σεπτὴν αὐτῆς Εἰκόνα ἀνεῦρες, Φανερωμένην προσφόρως ταύτην καλέσας· διὰ ταύτης γὰρ ἐφανέρωσας, τὴν ἐν σοὶ λαμπρότητα, ἣν ὁσίᾳ ἀσκήσει ἐκτήσω. Δι' αὐτῆς οὖν καὶ ἡμῶν, λάμπρυνον τὸν νοῦν, καὶ παθῶν ἀμαυρώσεως ἀπάλλαξον.

Δόξα. Ὁ αὐτός.

Τῶν πάλαι Ὁσίων, μιμησάμενος τὸν βίον, ἴσος τῆς δόξης αὐτῶν ὤφθης, θεοφόρε Λαυρέντιε· οὐρανόφρονι γὰρ γνώμῃ, ἀσκητικὸν ὑπελθὼν στάδιον, οὐρανίων δωρεῶν κοινωνὸς ἀνεδείχθης· καὶ τοῦ Σωτῆρος λειτουργῶν τοῖς ῥήμασιν, ἐν ἀπλάστῳ καρδίᾳ, ἐκ Μεγάρων παραδόξως, διὰ θαλάσσης εἰς Σαλαμῖνα ἐπεραιώθης· οὕτω γὰρ δοξάζει Χριστός, τοὺς πιστῶς ὑπουργοῦντας, τῷ θείῳ αὐτοῦ θελήματι. Ἀλλ' ὦ Πάτερ Ὅσιε, σκέπε καὶ φρούρει ταύτην τὴν Μονήν σου, ταῖς πρὸς Θεὸν πρεσβείαις σου.

www.tezaurliturgic.ro

Καὶ νῦν. Θεοτόκιον.

Ἐκ παντοίων κινδύνων...

Στιχηρὰ Προσόμοια.
Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.

Χαίροις ὁ τῶν Μεγάρων βλαστός, καὶ Σαλαμῖνος ὁ οἰκήτωρ ὁ ὅσιος, Λαυρέντιε θεοφόρε· πῦρ γὰρ τὸ θεῖον λαβών, τῆς Χριστοῦ ἀγάπης ἐν καρδίᾳ σου, ζωὴν τὴν ἰσάγγελον, θεοφρόνως διήνυσας, ἀπλάστοις τρόποις, καὶ σεπταῖς ἀναβάσεσι, σκεῦος εὔχρηστον, γεγονὼς θείας χάριτος· ὅθεν φωτὸς τοῦ κρείττονος, ἐπλήσθης μακάριε, ἁγιωσύνης ἐκλάμπων, τοῖς ἱεροῖς προτερήμασι, καὶ πᾶσι παρέχων, φωτισμὸν ταῖς σαῖς πρεσβείαις, καὶ θεῖον ἔλεος.

Στίχ. Τίμιος ἐναντίον Κυρίου...

Χαίρων ὡς καθαρὸς τὴν ψυχήν, καὶ πεπλησμένος τῆς ἀγάπης τοῦ Κτίστου σου, ἐν ὄψεσιν ἐπαλλήλοις, τὴν Θεοτόκον Ἁγνήν, μυστικῶς κατεῖδες Πάτερ Ὅσιε, καὶ ταύτης τὸ πρόσταγμα, ἐκπληρώσας Λαυρέντιε, ἐμφανῆ πᾶσιν, ὑπὸ γῆν οὖσαν πρότερον, ταύτης ἔδειξας, τὴν Εἰκόνα τὴν πάνσεπτον. Ὅθεν καὶ περιώνυμον, Μονὴν ταύτῃ ἤγειρας, ἔνθα ὁσίως τὸν δρόμον, τὸν τῆς ἀσκήσεως ἤνυσας· ἣν νῦν ἀεὶ σκέπε, πατρικαῖς σου προστασίαις, καὶ ἀντιλήψεσι.

Στίχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον...

Βίον ἀγγελικὸν διελθών, τῶν δωρεῶν τοῦ Παρακλήτου μετέσχηκας, καθάρας σαυτὸν ἐκ πάσης, ἐννοίας Πάτερ φθαρτῶν, ἐγκρατείας πόνοις θείῳ ἔρωτι· ἐντεῦθεν ἀρχέτυπον, Μοναστῶν ἐχρημάτισας, ἐν τῇ σῇ Μάνδρᾳ, ἀρετῶν τελειότητος, ἁμιλλώμενος, τοῖς Ὁσίοις τοῖς πρόπαλαι. Ὅθεν τὴν θείαν κάραν σου, ὡς θεῖον θησαύρισμα, ἁγιασμοῦ εὐωδίας, καταπλουτοῦσα ἡ ποίμνη σου, πιστῶς σε γεραίρει, καὶ τὴν σὴν ἐπιβοᾶται, σκέπην σωτήριον.



Δόξα. Ἦχος πλ. δ΄.

Προτυποῦσα ἐμφανῶς, τὴν ἐσομένην σοι δόξαν, μυστικῶς σοι ὀπτάνεται, ἡ τοῦ φωτὸς γεννήτρια Ὅσιε· ὡς υἱὸς γὰρ φωτός, ἐν ὁσιότητος ταῖς τρίβοις, τὸ σὸν κατεύθυνας θέλημα, καὶ τῆς ζωῆς τῆς κρείττονος, τοὺς καρποὺς ἐγεώργησας, σαρκὸς νεκρώσας τὸ φρόνημα. Διὸ Μεγαρὶς καὶ Σαλαμίς, ἐν σοὶ σεμνύνονται, Χριστὸν δοξάζουσαι, τὸν σὲ Λαυρέντιε δοξάσαντα, καὶ παρέχοντα διὰ σοῦ, ἡμῖν τὸ μέγα ἔλεος.

Καὶ νῦν Θεοτοκίον.

Δέσποινα πρόσδεξαι...

*Νῦν ἀπολύεις*, τὸ τρισάγιον, καὶ τὸ Ἀπολυτίκιον.

Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Τῶν Μεγάρων τὸν γόνον, Ἀσκητῶν τὸν ὁμότροπον, καὶ φρουρὸν Μονῆς Σαλαμῖνος, θεοφόρον Λαυρέντιον, τιμήσωμεν προφρόνως ἀδελφοί, ὡς μέτοχον τῆς δόξης τοῦ Χριστοῦ, ἵνα τούτου ταῖς πρεσβείαις πάσης ὀργῆς, ρυώμεθα κραυγάζοντες· δόξα τῷ δεδωκότι σοι ἰσχύν, δόξα τῷ σὲ στεφανώσαντι, δόξα τῷ χορηγοῦντι διὰ σοῦ, ἡμῖν Πάτερ τὰ πρόσφορα.

Ἕτερον. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Χρησμὸν εἰσδεξάμενος, ἐκ τῆς Παρθένου Ἁγνῆς, ἀσκήσει διέλαμψας ἐν τοῖς ἐσχάτοις καιροῖς, Λαυρέντιε Ὅσιε. Ὅθεν ἀεὶ ἀντλοῦντες, ἐκ τῆς θείας σου κάρας, χάριν πρὸς σωτηρίαν, καὶ ἰάσεις ποικίλας, γεραίρομεν θεοφόρε, τὰ θεῖά σου σκάμματα.

Θεοτοκίον.

Τὸ ἀπ᾽ αἰῶνος ἀπόκρυφον...

Ἀπόλυσις.

www.tezaurliturgic.ro

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α΄. Στιχολογίαν, Κάθισμα.

Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.

Ἀστὴρ νεοφανής, ἐκ Μεγάρων ἐκλάμψας, λαμπρύνεις νοητῶς, τῶν πιστῶν τὰς καρδίας, φωτὶ τῆς σῆς ἀσκήσεως, θεοφόρε Λαυρέντιε· ὅθεν σήμερον, τὴν σὴν γεραίρομεν μνήμην, ἐκλυτρούμενοι, τῆς τῶν παθῶν σκοτομήνης, ταῖς θείαις πρεσβείαις σου.

Θεοτοκίον.

Ἐπέστης μυστικῶς, ἐπαλλήλως Παρθένε, ὡς σκεύει ἐκλογῆς, Λαυρεντίῳ τῷ θείῳ, καὶ τούτῳ ἀπεκάλυψας, τὴν ἁγίαν Εἰκόνα σου, ἣν εὑράμενος, χαρᾶς πολλῆς ἐπληρώθη, μεγαλύνων σου, τὰ ὑπὲρ νοῦν μεγαλεῖα, καὶ δόξαν τὴν ἄφραστον.

Μετὰ τὴν β΄. Στιχολογίαν, Κάθισμα.

Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Τὸν ἐπενδύτην ἐφαπλώσας σου Πάτερ, ἐν τῇ θαλάσσῃ ὡς θεράπων Κυρίου, θαλασσοπόρος ξένος ἀναδέδειξαι· ὅθεν καὶ ὡς ἔφθασας, Σαλαμῖνα εἰς νῆσον, τὴν βουλὴν πεπλήρωκας, τῆς Ἁγνῆς Θεοτόκου, καὶ τὴν Μονὴν ἀνήγειρας αὐτῆς, οἷα λιμένα, ψυχῶν ἀκλυδώνιστον.

Θεοτοκίον.

Τῇ ὁδηγίᾳ σου Ἁγνὴ Θεοτόκε, κατευθυνθεὶς εἰς Σαλαμῖνα τὴν νῆσον, ὁ σὸς οἰκεῖος Δέσποινα Λαυρέντιος, τὴν πάλαι ἀνίδρυσε, πεπτωκυῖαν Μονήν σου, καὶ ἐν ταύτῃ ἔθετο, τὴν σεπτήν σου Εἰκόνα, Φανερωμένην ταύτην κεκληκώς, φανερωθεῖσαν, αὐτῷ τῇ προνοίᾳ σου.



Μετὰ τὸν Πολυέλεον, Κάθισμα.

Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Ἐγκρατείᾳ ἐμπρέπων καὶ ὁσιότητι, τῆς ἀπαθείας ἐδείχθης σκεῦος πολύτιμον, ὡς τῶν πάλαι μιμητὴς Ὁσίων Ἅγιε, καὶ εὐκλείας τῆς αὐτῶν, κοινωνήσας ἀληθῶς, Λαυρέντιε θεοφόρε, μὴ διαλίπῃς πρεσβεύων, ὑπὲρ ἡμῶν τῶν εὐφημούντων σε.

Θεοτοκίον.

Τῆς Ἁγνῆς Θεοτόκου μύστης γενόμενος, καθυπουργεῖς θεοφόρε ταύτης τῇ χάριτι, τεκμαιρόμενος ἡμῖν δόξαν τὴν ἄρρητον. Ὅθεν ἱκέτευε αὐτήν, τὴν σεπτὴν αὐτῆς Μονήν, ἀκλόνητον διασώζειν, ἐξ ἐπηρείας ἁπάσης πρὸς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Τὸ α΄. ἀντίφωνον τῶν Ἀναβαθμῶν τοῦ δ΄. ἤχου καὶ τὸ Προκείμενον.

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.

Στίχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον...

Εὐαγγέλιον τοῦ Ἁγίου Ἀντωνίου. (17 Ἰανουαρ.)

Ὁ Ν.΄ Δόξα. Ταῖς τοῦ σοῦ Ὁσίου...

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...

Ἰδιόμελον. Ἦχος πλ. β΄.

Στίχ. Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου...

Ἐν τῇ δυνάμει τοῦ Χριστοῦ, ρωννύμενος Πάτερ, τοῦ πονηροῦ κοσμοκράτορος, ἐτροπώσω τὰς φάλαγγας, ἀσκητικῇ ἐνστάσει σου· καὶ τὸ βραβεῖον τῆς νίκης, οὐρανόθεν δεξάμενος, ἰάσεις παρέχεις τοῖς πιστῶς σοι προσιοῦσι, καὶ πρεσβεύεις ἀπαύστως, ὑπὲρ τῶν ψυχῶν ἡμῶν, Λαυρέντιε Ὅσιε.

Σῶσον ὁ Θεὸς τὸν λαόν σου....

Εἶτα οἱ κανόνες, τῆς Θεοτόκου καὶ τοῦ Ἁγίου οὗ ἡ ἀκροστιχίς. «Τῷ Λαυρεντίῳ αἶνεσις αὕτη. Γερασίμου».

www.tezaurliturgic.ro

Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ἁρματηλάτην Φαραώ.

Ταῖς τῶν Ἁγίων τάξεσι Λαυρέντιε, συναυλιζόμενος, καὶ τοῦ Τρισηλίου, φωτισμοῦ πληρούμενος, τὸν νοῦν μου καταλάμπρυνον, φωτοφόροις εὐχαῖς σου, καὶ λόγον δίδου μοι Ἅγιε, ὅπως ἀνυμνήσω τὸν βίον σου.

Ὡς ἐν τῷ νόμῳ τοῦ Θεοῦ Λαυρέντιε, τὴν σὴν ζωὴν ἐκ παιδός, εὐσεβῶς ἰθύνων, καὶ κατευθυνόμενος, πρὸς τρίβον τὴν σωτήριον, σωφροσύνης τὸν πλοῦτον, ἐταμιεύσω μακάριε, ἤθεσιν ἀπλάστοις κοσμούμενος.

Λελαμπρυσμένος βίου καθαρότητι, καὶ πολιτείᾳ σεμνῇ, κατηγλαϊσμένος, Ὅσιε Λαυρέντιε, ὑπερφυοῦς ἠξίωσαι, ἐπισκέψεως μάκαρ, καὶ προμηθείας τε κρείττονος, τῆς Μητρὸς τοῦ πάντων δεσπόζοντος.

Θεοτοκίον.

Ἄνωθεν Κόρη ὤφθης ἐν ὁράματι, τῷ σῷ θεράποντι, θείῳ Λαυρεντίῳ, καὶ αὐτῷ ἐγνώρισας, Εἰκόνα σου τὴν ἔκπαλαι, ὑπὸ γῆν κεκρυμμένην, ἣν ὡς ἁγίασμα ἔνθεον, τῆς σῆς ἀγαθότητος ἔχομεν.

Ὠδὴ γ΄. Ὁ στερεώσας κατ᾽ ἀρχάς.

Ὑπὸ τῆς ἄνωθεν ῥοπῆς, καθοδηγούμενος Πάτερ, ἐποιήσω θαυμαστῶς ἐν θαλάσσῃ, τὴν πορείαν σου σοφέ, καὶ πρὸς τὴν νῆσον ἔφθασας, τῆς Σαλαμῖνος χαίρων, καθυπουργῶν θείῳ νεύματι.

Ῥήσεσι θείαις πειθαρχῶν, καθαρωτάτῃ καρδίᾳ, τῆς ὀφθείσης σοι Ἁγνῆς Θεοτόκου, ἀνεζήτησας σπουδῇ, καὶ ὑπὸ γῆν ἀνεύρηκας, τὸν ταύτης θεῖον οἶκον, Πάτερ θεόφρον Λαυρέντιε.

Ἐπὶ τῶν ὤμων σου λαβών, Σταυρὸν τὸν θεῖον παμμάκαρ, ἠκολούθησας Χριστῷ θεοφρόνως, πᾶσαν σχέσιν τῶν ἐν γῇ, καταλιπὼν Λαυρέντιε, καὶ ἀσκητῶν τὸν βίον, ἔρωτι θείῳ ἑλόμενος.



Θεοτοκίον.

Ναὸν ἐγείρεις ἱερόν, ἐν Σαλαμῖνι τῇ νήσῳ τῇ Ἁγνῇ καὶ Θεοτόκῳ Μαρίᾳ, ὑπ᾽ αὐτῆς χρηματισθείς, Λαυρέντιε μακάριε, ναὸν προκαταστήσας, τὴν σὴν ψυχὴν θείας χάριτος.

Κάθισμα. Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.

Μοναστὴς θεοφόρος ἀναδειχθείς, ἀσκητῶν ἀπεμάξω τὴν ἀρετήν, καρδίας θερμότητι, καὶ τῷ ζήλῳ τοῦ κρείττονος, ἐν τοῖς ὑστέροις χρόνοις, βιώσας ὡς ἄγγελος, καὶ τοῦ ἐχθροῦ πατήσας, τὸ δόλιον φρόνημα· ὅθεν μετὰ τέλος, τῶν Ἁγίων τοῖς δήμοις, λαμπρῶς συνηρίθμησαι, ὡς αὐτῶν ἰσοστάσιος, θεοφόρε Λαυρέντιε· μεθ᾽ ὧν ἀεὶ δυσώπει Χριστόν, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Θεοτοκίον.

Ἐπισκέψεως θείας καὶ θαυμαστῆς, τῆς Ἁγνῆς Θεοτόκου ἀξιωθείς, ὠσὶ τοῖς καρδίαις σου, εἰσεδέξω μακάριε, αὐτῆς τοὺς θείους λόγους, καὶ τούτους πεπλήρωκας, καὶ θείας εὐδοκίας, ἐδείχθης διάκονος· ὅθεν ἐν ὑψίστοις, θεωρῶν σὺν Ἀγγέλοις, αὐτῆς τὴν λαμπρότητα, καὶ τὴν δόξαν τὴν ἄφραστον, ἐκβοᾷς ἀγαλλόμενος· χαῖρε τῶν Ἀγγέλων χαρά, καὶ ἀνθρώπων μέγα καταφύγιον, Ἀειπάρθενε Κόρη, Χριστοῦ Μῆτερ ἄφθορε.

Ὠδὴ δ΄. Σύ μου ἰσχύς.

Τῷ τοῦ Θεοῦ, φόβῳ σοφὲ στοιχειούμενος, καὶ ἀγάπῃ, θείᾳ, λαμπρυνόμενος, ἀγγελικὴν ἤνυσας ζωήν, καὶ τῆς τῶν Ἀγγέλων, εὐκλείας ὤφθης συμμέτοχος, σαυτὸν ἀνακαθάρας, ἀπὸ πάσης κηλῖδος, θεοφόρε Λαυρέντιε Ὅσιε.

Ἰσχὺν λαβών, ἐκ τῆς Ἁγνῆς Θεομήτορος, καὶ τῷ θείῳ, πειθαρχῶν κελεύσματι, καὶ ἐπιβὰς πίστει ἀρραγεῖ, τῷ σῷ ἐπενδύτῃ, θαλασσοπόρος παράδοξος, Λαυρέντιε ὡράθης, ὑπεμφαίνων τοῖς πᾶσι, τὴν πολλὴν πρὸς Θεόν σου οἰκείωσιν.

www.tezaurliturgic.ro

Ὡς μιμητής, ἐν ἴσῳ Πάτερ φρονήματι, τῶν ἀσκήσει, ἐκλαμψάντων πρότερον, τούτων τῆς χάριτος κοινωνός, ἐν ἐσχάτοις χρόνοις, περιφανῶς ἐχρημάτισας, παρέχων τοῖς αἰτοῦσι, καὶ ψυχῶν καὶ σωμάτων, σωτηρίαν Λαυρέντιε Ὅσιε.

Θεοτοκίον.

Αἴγλη Ἁγνή, τῆς παμφαοῦς ἀγλαΐας σου, ὁ θεόφρων, λαμπρυνθεὶς Λαυρέντιος, ὡς καθαρὸς σῶμα καὶ ψυχήν, τῆς φθαρτῶν ἰδέας, ὅλος ἐδείχθη θεόληπτος, καὶ ἅγιόν σοι οἶκον, ἀνεδείματο Κόρη, ὡς ψυχῶν ἀληθὲς ἱλαστήριον.

Ὠδὴ ε΄. Ἵνα τί με ἀπώσω ;

Ἰατρεῖον καθάπερ, τῶν ψυχῶν σωτήριον Πάτερ ἀνέδειξας, τὴν σεπτὴν Μονήν σου, ἐν ᾗ πάντες πιστῶς οἱ προστρέχοντες, ἄφεσιν πταισμάτων, καὶ κεκρυμμένων νοσημάτων, διδαχαῖς σου ἐλάμβανον ἴασιν.

Νοῦν τὸν σὸν ἐκκαθάρας, τῇ καθαρωτάτῃ ἀσκήσει σου Ὅσιε, Πνεύματος Ἁγίου, ἐνδιαίτημα ὤφθης πολύτιμον· παρ' οὗ τῶν θαυμάτων, προσεφαπλῶν τὰς ἐνεργείας, χαλεπὰς ἀσθενείας ἰάτρευσας.

Εὐωδίας ἀρρήτου, οἷάπερ ἀλάβαστρον Πάτερ μυρίπνοον, τῆς ἐκ παραδείσου, νοητοῦ προϊούσης ἑκάστοτε, ἡ σεπτή σου κάρα, ὀσμὴν τερπνὴν ἀρωματίζει, καὶ εὐφραίνει ἡμῶν τὴν διάνοιαν.

Θεοτοκίον.

Σκέπη πέλεις Παρθένε, ταύτης τῆς Μονῆς σου καὶ τεῖχος ἄρρηκτον, ἥν σοι πλείστοις πόνοις, ὁ θεόφρων Λαυρέντιος ἵδρυσεν· ὅθεν ταύτην σκέπε, τῇ κραταιᾷ σου προστασίᾳ, ἐξ ἁπάσης ὁρμῆς τοῦ ἀλάστορος.

Ὠδὴ στ΄. Ἱλάσθητί μοι Σωτήρ.



Ἰδὼν τὴν μόνην Ἁγνήν, μυσταγωγοῦσάν σε Ὅσιε, τῇ ταύτης ἐπισκοπῇ, φωτὸς θείου πέπλησαι, καὶ πιστὸς διάκονος, τῆς σοὶ ἐκφανθείσης, εὐδοκίας ἐχρημάτισας.

Συνέσει πνευματικῇ, κεκοσμημένος Λαυρέντιε, τῆς πρακτικῆς ἀρετῆς, μύστης καὶ διδάσκαλος, σαφῶς ἐχρημάτισας, τοῖς σὺν σοὶ ὁσίως, ἀσκουμένοις ἐν τῇ Μάνδρᾳ σου.

Ἀγγέλων ὁ μιμητής, καὶ τῶν Μεγάρων τὸ βλάστημα, καὶ Σαλαμῖνος Μονῆς, δομήτωρ ὁ ἔνθεος, καὶ ἄσειστος πρόβολος, ἀνυμνολογείσθω, ὁ μακάριος Λαυρέντιος.

Θεοτοκίον.

Ὑψίστου περιφανές, καὶ πάνσεπτον ἐνδιαίτημα, Θεογεννῆτορ Ἁγνή, σκέπε καὶ διάσωζε, πάσης περιστάσεως, ταύτην τὴν Μονήν σου, τὴν πιστῶς ἀνακειμένην σοι.

Κοντάκιον. Ἦχος γ΄. Ἡ Παρθένος σήμερον.

Ἐκ Μεγάρων Ὅσιε, οἷάπερ φοῖνιξ βλαστήσας, μυστικῶς ἐξήνθησας, ἐν Σαλαμῖνι τῇ νήσῳ· ἔνθα δή, Μονὴν ἐγείρας τῇ Θεοτόκῳ, σκήνωμα, τοῦ Παρακλήτου λαμπρὸν ἐδείχθης, τῇ ὁσίᾳ σου ἀσκήσει, Χριστοῦ θεράπον Πάτερ Λαυρέντιε.

Ὁ Οἶκος

Χρηματισθεὶς ἀπ' οὐρανοῦ, τῇ καθαρᾷ ζωῇ σου, τῆς Θεομήτορος Ἁγνῆς, ταῖς ἐμφανείαις ταῖς σεπταῖς, καὶ ὄψεσιν ἀΰλοις, διακονεῖς θερμῇ ψυχῇ, θελήματι τῷ θείῳ, καὶ κατάλληλον ἐπεδείξω σπουδήν, τῇ ἀποκαλυφθείσῃ σοι χάριτι· ὅθεν ἐν Σαλαμῖνι γεγονώς, πληρωτὴς τῆς θείας ὀμφῆς ἀναδέδειξαι, καὶ τὴν τῆς Θεοτόκου Μονὴν ἀνῳκοδόμησας, ὡς ψυχῶν σωτήριον λιμένα, καὶ τῶν θελόντων σωθῆναι, σωτηρίας ἀσφαλὲς παιδευτήριον· καὶ τύπος ὁσίων ἔργων, ἐν αὐτῇ χρηματίσας, καὶ ἀσκητικῶς τὸν ἐχθρὸν καταπαλαίσας, ὁσίως καὶ ἀμέμπτως ἐβίωσας, καὶ ἐν Ἁγίοις γέγονεν ὁ κλῆρός σου, Χριστοῦ θεράπον Πάτερ Λαυρέντιε.

www.tezaurliturgic.ro

Συναξάριον.

Τῇ ζ'. τοῦ αὐτοῦ μηνός, Μνήμη τοῦ Ὁσίου καὶ θεοφόρου Πατρὸς ἡμῶν Λαυρεντίου, τοῦ κτίτορος τῆς ἐν Σαλαμῖνι Ἱερᾶς Μονῆς τῆς Φανερωμένης.

Στίχ. Ὀμφῇ θεϊκῇ Λαυρέντιε ὑπείξας
Κατάλληλον ἔδειξας πόθον τῷ βίῳ.

Ἑβδομάτῃ Λαυρεντίοιο ἦτορ νόες ἔνθεν ἦραν.

Ὁ μακάριος οὗτος ἄνθρωπος τοῦ Θεοῦ, ἦν ἐκ τῆς πόλεως, ἧς ἡ κλῆσις Μέγαρα, κειμένης ἐν τῇ ὁμωνύμῳ ἐπαρχίᾳ Μεγαρίδος. Ἤκμαζε τῷ δεκάτῳ καὶ ὀγδόῳ αἰῶνι, γεννηθεὶς τῷ τέλει τοῦ δεκάτου καὶ ἑβδόμου, γονεῖς ἔχων εὐσεβεῖς, Δημήτριον καὶ Κυριακὴν προσαγορευομένους. Φθὰς εἰς νόμιμον ἡλικίαν συνεζεύχθη πιστῇ γυναικί, ὠνομασμένῃ Βασιλικῇ, μεθ' ἧς τεκνοποιήσας, δύο υἱοὺς ἐκτήσατο, Ἰωάννην καὶ Δημήτριον. Ἦν δὲ τὸ ἐπιτήδευμα γεωργός, γνῶσιν ἔχων καὶ τῆς τεκτονικῆς τέχνης, καὶ ἀεὶ τῷ θείῳ συνέζη φόβῳ, εὐκοσμίᾳ ἠθῶν, καὶ ἁπλότητι τρόπων, καὶ εὐσεβείᾳ πολλῇ κοσμούμενος· ἀμέμπτως γὰρ ἐπορεύετο ἐν ταῖς ἐντολαῖς καὶ τοῖς δικαιώμασι τοῦ Κυρίου, ἀπεχόμενος παντὸς πονηροῦ πράγματος, κατὰ τὸν μέγαν Ἰώβ.

Καί ποτε ἐπορεύθη ἔν τινι τόπῳ παρὰ τὴν ἐνεγκαμένην αὐτόν, Λεάντρον λεγομένῳ, πρὸς γεωργίαν τῶν ἐκεῖσε ἀγρῶν, ἔνθα, καθεύδων, ὁρᾷ ἐν ὁράματι τὴν Κυρίαν ἡμῶν Θεοτόκον, προστάττουσαν αὐτῷ, ὅπως ἐλθὼν εἰς τόπον ὑποδειχθέντα αὐτῷ, οἰκοδομήσῃ τὸν ναὸν αὐτῆς· διϋπνισθεὶς ὁ ὅσιος, διελογίζετο λέγων: Τίς ἡ ἐντελλομένη μοι ἀνεγεῖραι τὸν ἑαυτῆς ναόν; παραυτὰ δὲ ἠνέχθη αὐτῷ φωνὴ λέγουσα· Ὁ ἐμὸς ναὸς ἔνεστιν ἐν τῇ νήσῳ τῇ καλουμένῃ Σαλαμῖνι, κείμενος ἐν ἐρειπίοις, κατὰ τὸ ἀρκτῷον ταύτης μέρος. Ἀπιστίᾳ δὲ ἐπὶ τούτῳ συσχεθείς, ὁρᾷ καὶ αὖθις τῇ ἐπομένῃ νυκτὶ τὴν τῶν Ἀγγέλων ἄνασσαν, ἐν ὕφει ἀπειλῆς, τὰ αὐτὰ ἐπιτάττουσαν αὐτῷ· ἀλλὰ καὶ πάλιν οὐδόλως προσέσχε τοῖς ἐκφανθεῖσιν αὐτῷ τῇ οὐρανίῳ ὄψει· ὅθεν καὶ τρίτον ἐφίσταται ἡ Θεοτόκος, ἐν ἀπειλῇ λέγουσα. Τάχιστα πορεύου, ἄνθρωπε, ἐν τῇ νήσῳ τῇ παρ' ἐμοῦ σοι λεχθείσῃ, τὴν ἐμὴν ἐντολὴν εἰς πέρας φέρων.



Τοιούτων χρησμῶν ἀξιωθεὶς ὁ τοῦ Θεοῦ ἄνθρωπος, καὶ ἔντρομος γενόμενος, ἐπανῆκε τῇ ἑαυτοῦ πατρίδι, διηγούμενος ὅσα εἶδε καὶ ἤκουσε παρὰ τῆς Κυρίας ἡμῶν Θεοτόκου, ἃ πλεῖστοι μὲν ἡδέως ἐπίστευσαν, ἑτέροις δέ, ὡσεὶ λῆρος ἐφάνησαν, καὶ ἦν ὁ γέρων οἴκοι καθεζόμενος, διαπορῶν περὶ τοῦ πρακτέου.

Τότε δὴ τότε, νύκτωρ καὶ αὖθις ἐφίσταται αὐτῷ ἡ Θεομήτωρ, ἐν πολλῇ ἀπειλῇ κελεύουσα, ἵνα τάχιον μεταβῇ τῇ νήσῳ καὶ τελέσῃ τὸ προσταχθέν· ἅμα δὲ ὑπέδειξεν αὐτῷ ἐν τῷ ὁράματι, τὰς κτήσεις τῆς ἑαυτῆς Μονῆς, διαρπαγείσας καὶ νεμομένας παρά τινων, ὡς ἴδια αὐτῶν κτήματα. Διεγερθεὶς ὁ ὅσιος ἐν πολλῇ ἐκπλήξει, ἤρξατο προσεύχεσθαι, καὶ θείᾳ νεύσει καὶ ὁδηγίᾳ παρεγένετο τῇ παραλίᾳ, καὶ ἦν σκοπῶν εἰ ἄρα εὕροιεν μέσον πρὸς περαίωσιν· σφόδρα γὰρ ἐκυμαίνετο ἡ θάλασσα, καὶ οὐδαμοῦ ἐφαίνετο πλοιάριον, πλεῦσον πρὸς Σαλαμῖνα. Ὢν δὲ ἐν ἀθυμίᾳ καὶ ἀπορίᾳ περὶ τούτου, ἤκουσε φωνῆς ἄνωθεν ἐνεχθείσης αὐτῷ· Ῥίψον τὸν ἐπενδύτην σου ἐπὶ τῆς θαλάσσης, ἐν ᾧ ἐπιβάς, εὐπλοήσας προσορμηθήσῃ τῇ Σαλαμῖνι, ἄνευ τινὸς κινδύνου· ὅπερ πράξας ἐν ἀνενδοιάστῳ πίστει καὶ πληροφορίᾳ ψυχῆς, ἔφθασεν ἀβλαβὴς τῇ εἰρημένῃ νήσῳ. Δραμὼν δὲ τῷ ὑποδειχθέντι ὑπὸ τῆς Θεοτόκου τόπῳ, ἐν ᾧ ἦν πάλαι ᾠκοδομημένος ναὸς τῇ ἁγίᾳ αὐτῆς κλήσει, ἀνέσκαψε καὶ ἀνεῦρεν ἔνθους τὴν ἱερὰν αὐτῆς εἰκόνα. Εἶτα δὲ ἀνῳκοδόμησε τὴν ἠρειπωμένην Μονήν, πλείστοις κόποις καὶ μόχθοις καὶ ἱδρῶσι καὶ οἰκείοις ἀναλώμασιν, οὐ μὴν ἀλλὰ καὶ πολλῇ τῶν εὐσεβῶν συνεισφορᾷ καὶ δωρεᾷ, καταστήσας αὐτὴν ἄρτιον φροντιστήριον ψυχῶν, θελουσῶν μοναστικῶς εὐαρεστῆσαι Κυρίῳ. Ἐν ταύτῃ καὶ οὗτος μονάσας καὶ ἐνδυθεὶς τὸ μοναχικὸν σχῆμα, μετωνομάσθη ἀπὸ Λάμπρου Λαυρέντιος· μετ' οὐ πολὺ ἐγένετο μοναχὴ καὶ ἡ γυνὴ αὐτοῦ, λαβοῦσα τὴν κλῆσιν Βασσιανή. Διαδοθείσης δὲ τῆς φήμης τῆς ὁσίας αὐτοῦ ζωῆς, πλεῖστοι προσῆλθον καὶ ἐγένοντο μοναχοί, καί τινες λαβόντες καὶ τὸ χάρισμα τῆς ἱερωσύνης· καὶ ἦν μετ' αὐτῶν ὁ ὅσιος Λαυρέντιος, συνασκούμενος αὐτοῖς τὴν κατὰ Χριστὸν ζωὴν καὶ ἄσκησιν, καὶ συμπρο-

www.tezaurliturgic.ro

σευχόμενος ἀδιαλείπτως, καὶ τύπον ἑαυτὸν παρεχόμενος καὶ ὑπόδειγμα ἔμψυχον πάσης ἀρετῆς, καὶ κανόνα πάσης ἐπιμελείας ἐν τῇ ἀσκήσει καὶ σπουδῇ «ἐν λόγῳ, ἐν ἔργῳ, ἐν ἀναστροφῇ», διδάσκων καὶ νουθετῶν τὰ τῆς σωτηρίας ἐχόμενα τούς τε μονάζοντας καὶ τοὺς εὐσεβεῖς Χριστιανούς, οἵτινες πανταχόθεν συνέρρεον ἐκεῖσε, ἐν πολλῇ εὐλαβείᾳ, ἵνα λάβωσι πᾶσαν ὄνησιν καὶ θεραπείαν ψυχῆς τε καὶ σώματος.

Οὕτως ὁ ὅσιος ἠγωνίζετο, καθαρθεὶς δὲ τῇ συντόνῳ ἀσκήσει πάσης γεηρᾶς προσπαθείας καὶ ματαίας σχέσεως, καὶ φθαρτῆς κατὰ νοῦν ἐμφάσεως καὶ ἡδυπαθείας, κατέστη σκεῦος τοῦ Παναγίου Πνεύματος, χαριτωθεὶς τῇ αὐτοῦ ζωοποιῷ ἐνεργείᾳ καὶ χάριτι, καὶ ἐπληρώθη θείου φωτός, θεράπων ἐνθεώτατος τῆς Θεοτόκου ἀναδειχθείς· ἔνθεν καὶ τὴν τῶν θαυμάτων δύναμιν ἐκομίσατο, ἐμφαίνουσαν τὴν ἐν αὐτῷ λαμπρότητα, καὶ τὰς μελλούσας αὐτοῦ ἀμοιβάς, ἃς ἡτοίμασε Κύριος, τοῖς ἐν ἀληθείᾳ ἀγαπῶσιν αὐτόν, καὶ ἐν ὁσιότητι καὶ δικαιοσύνῃ πορευθεῖσι τῷ ἁγίῳ αὐτοῦ θελήματι.

Εἴκων ὁ ὅσιος τῇ τῆς Θεοτόκου ἐντολῇ καὶ κελεύσει, ἠδυνήθη ἐν ὀλίγου χρόνου περιφορᾷ ἐλευθερῶσαι καὶ ὑπαγαγεῖν καὶ αὖθις τῇ Μονῇ τὰς ἑαυτῆς κτήσεις, ἃς εἶχον ἁρπάσασαι χεῖρες ξέναι, πλὴν ἐλαιῶνός τινος ἐν θέσει Γλυφάδᾳ καλουμένῃ, ὃν κατεκράτει Ὀθωμανός, μεγάλην κεκτημένος ἰσχύν. Ματαίως ἐκοπία ὁ πατήρ, ἀποσπᾶσαι αὐτὸν χειρῶν ἀδίκων, καίτοι μεταβὰς τῷ ἐν βασιλίδι τῶν πόλεων Οἰκουμενικῷ Πατριάρχῃ. Οὐκ ὀλίγου δὲ παρεληλυθότος καιροῦ, ἠσθένησεν ἀσθένειαν πρὸς θάνατον ἡ τοῦ Ὀθωμανοῦ σύμβιος, τὴν κατοικίαν ἐν Ἀθήναις ἔχουσα, πρὸς ἣν ἠπράκτουν καὶ ἰατροὶ καὶ φάρμακα· τῆς φήμης δὲ τοῦ ὁσίου, ὡς ἔφθην εἰπών, πανταχοῦ διαβοωμένης, καὶ τῆς θεραπευτικῆς ἐν αὐτῷ δυνάμεως πλείστους ἀνακτωμένης, ἡ πάσχουσα παρεκάλει, ἵνα ἐλθὼν ὁ ὅσιος θεραπεύσῃ αὐτὴν τῆς μάστιγος· ἀλλ' οὐδαμῶς κατένευεν ὁ ταύτης ἀνήρ, πλὴν ἰδὼν τὸν θάνατον ἐγγίζοντα, ἐδέξατο τὸν ὅσιον, ὅστις ἐλθών, καὶ προσευξάμενος, ἐτυπώσατο διὰ τῆς ῥάβδου αὐτοῦ τὸ σημεῖον τοῦ τιμίου Σταυροῦ ἐπὶ τὴν ἀσθενοῦσαν, καὶ ἤρξατο βελτιοῦσθαι, θεραπευθεῖσα τελείως μετ' οὐ



πολλὰς ἡμέρας. Τότε ὁ ἀνὴρ αὐτῆς, λίαν αἰδεσθεὶς τὸν ὅσιον, καὶ συγγνώμην αἰτησάμενος, ἀπέδωκε τῇ Μονῇ ὅ,τι ἐν ἀδικίᾳ κατεῖχε.

Ἀόμματός τις, ἔκ τινος κώμης τῆς Εὐβοίας Φύλλα καλουμένης, ὀνόματι Κυριαζῆς, μαθὼν τὰ τοῦ ὁσίου προσέτρεξε σὺν θερμῷ ζήλῳ καὶ εὐλαβείᾳ τῇ ἱερᾷ αὐτοῦ Μονῇ, καὶ προσπεσὼν τοῖς ποσὶν αὐτοῦ, παρεκάλει ἐν θερμοῖς δάκρυσι μεσίτης γενέσθαι τῇ Θεοτόκῳ, ὡς ἂν τύχῃ τῆς ποθητῆς θεραπείας· καί, ὢ τοῦ θαύματος! παραχρῆμα ἠνεῴχθησαν αὐτοῦ οἱ ὀφθαλμοί· εὐχαριστήσας δὲ τῷ Θεῷ, καὶ τῇ Πανάγνῳ αὐτοῦ Μητρί, ἔτι δὲ καὶ τῷ ὁσίῳ πατρὶ χάριτας ὁμολογῶν, ἐπανῆλθεν οἴκαδε διηγούμενος τὰ μεγαλεῖα τοῦ Θεοῦ.

Ἐν ἐκείνῳ τῷ καιρῷ, ἄνθρωπός τις ἐν τῇ νήσῳ Κύθνῳ(1), Γεώργιος κεκλημένος, πνεύμασιν ἀκαθάρτοις ἐπὶ εἴκοσι συνείχετο ἔτη. Οὗτος ἀκούσας τὰ τῶν θαυμάτων τοῦ Ἁγίου, πολλῇ σπουδῇ καὶ πίστει ἀφίκετο τῇ ἑαυτοῦ Μονῇ, παρακαλῶν καὶ δεόμενος μετὰ θερμῶν δακρύων καὶ λέγων· Ἅγιε τοῦ Θεοῦ, ἱκέτευσον ὑπὲρ ἐμοῦ τοῦ ἀθλίου τὴν πηγὴν τῆς συμπαθείας Μητέρα τοῦ Κυρίου, ἵνα ἀπαλλαγῶ τῆς φοβερᾶς τῶν ἀκαθάρτων πνευμάτων μάστιγος. Σπλαγχνισθεὶς ὁ ὅσιος, προσηύξατο τῇ Πανάγνῳ Παρθένῳ, καὶ ὢ τοῦ θαύματος! ἐθεραπεύθη ὁ ἄνθρωπος, καὶ ἐπανῆλθεν ὑγιὴς τῇ ἑαυτοῦ πατρίδι, δοξάζων τὸν Θεόν.

Ὅτε ὁ ὅσιος ᾠκοδόμει τὴν Μονήν, ὤφθη ἐν ὁράματι αὐτῷ ἡ Θεοτόκος λέγουσα αὐτῷ, ἵνα πορευθῇ ἔν τινι τόπῳ τῆς Σαλαμῖνος, ἔνθα ἦν τεθαμμένος κίων τις, ὃν ἔδει κομίσαι, καὶ χρήσασθαι ἐν τῇ οἰκοδομῇ. Οὗτινος κομιζομένου, συνεργίᾳ σατανικῇ, εἷς τῶν ἐκεῖ πεσὼν ὑπ' αὐτόν, ἔμεινεν ἀβλαβής, χάριτι τῆς Θεοτόκου καὶ ἐντεύξει τοῦ Ἁγίου.

Κατὰ τὴν δεκάτην καὶ πέμπτην τοῦ Αὐγούστου μηνός, καθ' ἣν ἡ τῆς Πανάγνου Κοίμησις ἑορτάζεται, πλῆθος πολὺ συντρέχει εὐσεβῶν τῇ Μονῇ ἐκ τῆς αὐτῆς νήσου Σαλαμῖνος, ἐκ Μεγάρων, ἐξ Ἀθηνῶν καὶ πλείστων ἄλλων μερῶν. Μεταξὺ τῶν ἐκεῖ τότε συναθροισθέντων, ἦν καί τις Ἐπίσκοπος ἐξ Ἀθηνῶν, οὗ ἡ κλῆ-

1) Ἡ νῆσος αὕτη ἐν ταῖς Κυκλάσι, κοινῶς Θερμιὰ καλουμένη.

www.tezaurliturgic.ro

σις Ἰάκωβος, ὅστις πλεονεξίας καὶ ἁρπαγῆς κέντρῳ βληθείς, ἥρπασε τοὺς κηρούς, καί τινα ἄλλα πρὸς τὴν Θεοτόκον ἀναθήματα, καὶ περιυβρίσας ἐν ὑπεροψίᾳ τὸν ὅσιον πατέρα Λαυρέντιον, ἀπῆλθε τῆς Μονῆς, εἴς τινα ἐν τῇ νήσῳ οἰκίαν. Τῇ ἐπιούσῃ δὲ νυκτί, ὁρᾷ καθ' ὕπνους τὴν Θεοτόκον, πατοῦσαν ἐπὶ τοῦ αὐχένος αὐτοῦ ἐν ἀπειλῇ, ὡς ἂν τάχιστα ἀποστείλῃ ὅσα εἶχεν ἁρπάσας ἀδίκῳ χειρί. Διυπνισθεὶς ὁ ἐπίσκοπος ἔντρομος, ἐν τάχει πολλῷ τῇ ἐπαύριον ἀπέστειλε τῇ Μονῇ, ἃ ἐκεῖθεν ἀφεῖλεν, ἵνα συγχωρήσεως τεύξηται.

Οὗτος ἐστὶν ἐν ἐπιτόμῳ ὁ βίος καὶ ἡ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν Λαυρεντίου. Τοσοῦτον δίκαιος καὶ πλήρης ἀρετῶν ἐν ὁσιότητι καὶ ἁγιότητι ἦν ὁ μακάριος, καὶ τοσοῦτον κατὰ ψυχὴν ἁπλοῦς καὶ ἀγαθός, καὶ τὴν καρδίαν ἄδολος καὶ ἄπλαστος, διὸ καὶ ἠγαπήθη ὑπὸ τῆς Κυρίας ἡμῶν Θεοτόκου, καὶ θεράπων καὶ μύστης αὐτῆς ὤφθη ἐνθεώτατος, καὶ ἠξίωται ἀνευρεῖν τὴν ἁγίαν αὐτῆς εἰκόνα, καὶ ἀνεγεῖραι τὴν ἱερὰν αὐτῆς Μονήν. Μετὰ δὲ τὴν εἰκόνος φανέρωσιν, ὅλος ὡσιώθη ταῖς ἀρεταῖς, καὶ ἄγγελος ὡρᾶτο ἐν σώματι, ταῖς μακροτάταις νηστείαις, ταῖς τῶν γονάτων κλίσεσι, καὶ τοῖς τῶν δακρύων σχολάζων χεύμασιν, εὐσπλάγχνως καὶ ἐν πλούτῳ συμπαθείας τοῖς πᾶσι διακείμενος, καὶ θεραπεύων πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν, Εὐαγγελικῶς φάναι, τῶν ἐν πίστει προσερχομένων τῇ εὐαγεῖ αὐτοῦ Μονῇ, ἐν ᾗ οὕτως διαπρέψας, καὶ ὁσίως τὸν δρόμον τετελεκώς, καὶ ἐν θαύμασι δοξασθείς, ἐκοιμήθη τῶν Ἁγίων τὸν ὕπνον τῇ στ'. Μαρτίου, ἐν ἔτει σωτηρίῳ αψο', τῆς μνήμης αὐτοῦ τελουμένης τῇ ζ'. Μαρτίου. Τὸ σεπτὸν τοῦ ὁσίου λείψανον ἐτάφη ἐν τῇ μικρᾷ Ἐκκλησίᾳ, ἐν ᾗ εὕρηται ἡ τῆς Θεοτόκου ἁγία εἰκών, ἡ ταῖς ὁσίαις χερσὶ τοῦ ὁσίου πατρὸς ἀνακαλυφθεῖσα καὶ φανερωθεῖσα, ἥτις Φανερωμένη ἔκτοτε κέκληται, τῇ αὐτῇ δὲ Μονῇ σώζεται τανῦν ἡ πάνσεπτος τούτου κάρα, ἀρρήτως εὐωδιάζουσα, καὶ θαύματα ἐνεργοῦσα τῇ ἐπισκιάσει τῆς θείας χάριτος.

Ταῖς αὐτοῦ πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.



### Ὠδὴ ζ'. Θεοῦ συγκατάβασιν.

Τὴν χάριν τοῦ Πνεύματος, ἐνδεδυμένος Πάτερ Λαυρέντιε, ἰατὴρ νοσημάτων, ψυχῆς ὁμοῦ τε ὤφθης καὶ σώματος, καὶ ἀκαθάρτων πνευμάτων ἐπήρειαν, ἀποδιώκεις μακράν, τῶν προσιόντων σοι.

Ἠλάθη Λαυρέντιε, τῇ σῇ πρεσβείᾳ πρὸς τὴν Πανάχραντον, τοῦ ἐκ Κύθνου ἐν πίστει, σοὶ προσελθόντος καὶ εὐλαβείᾳ πολλῇ, ἡ συνοχὴ τῆς δαιμόνων κακότητος, καὶ ἴαται ὁ ἀνήρ, δοξολογῶν τὸν Θεόν.

Γνησίως ἐδούλευσας, ἐν ἐγκρατείᾳ καὶ θείοις σκάμμασιν, ὡς οἱ πάλαι πατέρες, ὑστέροις χρόνοις Χριστῷ Λαυρέντιε, διακονῶν εὐδοκίᾳ τῇ κρείττονι, τῆς Θεοτόκου Ἁγνῆς, οἷα θεράπων αὐτῆς.

### Θεοτοκίον.

Ἐλέους θησαύρισμα, Θεογεννῆτορ καὶ βρύσις ἄφθονος, ἐλεεῖς καὶ οἰκτείρεις, καὶ ἀπαλλάττεις πάσης στενώσεως, τοὺς προσκυνοῦντας τὴν θείαν Εἰκόνα σου, ἣν περ καλοῦμεν πιστῶς Φανερωμένην Ἁγνή.

### Ὠδὴ η'. Ἑπταπλασίως κάμινον.

Ῥάβδῳ τῇ σῇ Λαυρέντιε, σταυροτύπως ἐτύπωσας, τὴν Ὀθωμανίδα ἀνιάτως πάσχουσαν, καὶ θείᾳ χρηστότητι, ἴάθη ἐκ τῆς μάστιγος· βίῳ γὰρ λαμπρῷ, εὐαρεστήσας Κυρίῳ, χαρίσματα παρ' αὐτοῦ ἰαμάτων, καὶ τὴν δαιμόνων βλάβην, ἀποσοβεῖν εἰς τέλος.

Ἀγγελικοῖς χαρίσμασιν, ἐδοξάσθης Λαυρέντιε, οἷάπερ δοχεῖον τοῦ Ἁγίου Πνεύματος· ἐντεῦθεν ἠνέῳξας, τοὺς ὀφθαλμοὺς μακάριε, τοῦ ἐκ τῆς Εὐβοίας, προσελθόντος τυφλοῦ σοι· ὃς χαίρων τὴν σὴν χάριν, ἐκήρυττε κραυγάζων. Λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

www.tezaurliturgic.ro

Συντονωτάτοις πόνοις σου, καὶ ἱδρῶσι καὶ σκάμμασιν, ἱερῶς ἐδείμω Ὅσιε Λαυρέντιε, Μονὴν περιώνυμον, τῇ μόνῃ Θεομήτορι, ὥσπερ σωτηρίας, γυμναστήριον θεῖον· ἣν Πάτερ ἀοράτως, μὴ παύσῃ ἐποπτεύων, τῇ σῇ συμπαθεστάτῃ, καὶ θείᾳ ἀντιλήψει.

Θεοτοκίον.

Ἱεροτύπως Δέσποινα, ἡ Εἰκών σου ἡ πάνσεπτος, πάλαι τυπωθεῖσα ἐπὶ πλείστοις ἔτεσι, λαγόσι γῆς κέκρυπται, ταύτην δὲ ἐφανέρωσας, οἷα θησαυρόν, τῆς πρὸς ἡμᾶς σου προνοίας, τῷ θείῳ Λαυρεντίῳ, βοῶντι χαρμοσύνως· χαῖρε δεδοξασμένη, Παρθένε Θεοτόκε.

Ὠδὴ θʹ. Ἐξέστη ἐπὶ τούτῳ.

Μιμούμενος Ὁσίων τῶν εὐκλεῶν, τὴν ζωὴν τὴν ἁγίαν Λαυρέντιε, ἀσκητικῶς, ἴχνεσιν ἐβάδισας τοῖς αὐτῶν, καὶ κοινωνὸς καὶ μέτοχος, τούτων ἀνεδείχθης ἐν οὐρανοῖς, τυχὼν τῶν ἀϊδίων, ἐπάθλων θεοφόρε, ὧν τὰς ἐμφάσεις πρὶν ἐκέκτησο.

Ὁλόφωτον ὡς ἄστρον νεοφανές, ἐκ Μεγάρων ἐκλάμψας Λαυρέντιε, φωταγωγεῖς, ταῖς τῶν ἀρετῶν σου μαρμαρυγαῖς, τῶν εὐσεβῶν τὸ πλήρωμα· βίον γὰρ βιώσας ἀσκητικόν, ἐν νήσῳ Σαλαμῖνος, ἀξίως ἐδοξάσθης, τῇ χορηγίᾳ θείου Πνεύματος.

Ὑψόθεν Πάτερ βλέψον ὡς συμπαθής, τῇ παρούσῃ Μονῇ σου Λαυρέντιε, οἷα ποιμήν, ταύτης καὶ θεόληπτος ὁδηγός· ἐν γὰρ τῇ θείᾳ κάρᾳ σου, βλέπειν σε παρόντα ἀεὶ δοκεῖ· καὶ δίδου τῇ χειρί σου, ταύτῃ τῆς πατρικῆς σου, ἐπικουρίας τὰ γνωρίσματα.

Θεοτοκίον.

Ὑμνοῦμέν σου τὴν δόξαν τὴν ὑπὲρ νοῦν, Ὑπερένδοξε Κόρη Πανάχραντε, καὶ τὴν πολλήν, πρὸς ἡμᾶς σου εὔνοιαν καὶ στοργήν, διὰ παντὸς κηρύττομεν· ὅτι ἡμᾶς σώζεις πάσης ὀργῆς· ἀλλὰ καὶ μέχρι τέλους, μὴ παύσῃ Θεοτόκε, προνοουμένη τῆς ζωῆς ἡμῶν.



Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.

Τῶν ἀρετῶν τὸν δίαυλον, ἀσκητικῶς διήνυσας, καὶ καθαρθεὶς τὴν καρδίαν, δι᾽ ἐγκρατείας ἁπάσης, περιφανοῦς ἠξίωσαι, ἄνωθεν ἐπισκέψεως, Λαυρέντιε Πατὴρ ἡμῶν, καὶ τῶν Ἁγίων τῆς δόξης, ἰσότιμος ἀνεδείχθης.

Ἕτερον. Ὁ οὐρανὸν τοῖς ἄστροις.

Ὁ τῶν Μεγάρων γόνος, καὶ Σαλαμῖνος ὁ πυρσός, καὶ θεοσδότων χαρίτων, ἄξιον σκεῦος ἀληθῶς, ᾀσματικῶς ἐπαινείσθω, Λαυρέντιος ὁ θεόφρων.

Θεοτοκίον.

Χρηματισθεὶς οὐρανόθεν, τῇ ἐμφανείᾳ τῇ σεπτῇ, τῆς Θεοτόκου Μαρίας, ταύτης θεράπων ἱερός, Λαυρέντιε ἀνεδείχθης, καὶ Μονῆς θείας δομήτωρ.

Εἰς τοὺς Αἴνους.

Ἱστῶμεν στίχους δʹ. καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.

Ἦχος πλ. δʹ. Ὢ τοῦ παραδόξου θαύματος !

Ὅσιε Πάτερ Λαυρέντιε, τῇ καθαρᾷ σου ζωῇ, ἐπιπνοίας τῆς ἄνωθεν, σκεῦος ὤφθης εὔχρηστον, τῇ τῶν τρόπων χρηστότητι, καὶ μυστηρίου θείου διάκονος, καὶ πολιτείας σεμνῆς ἀρχέτυπον, οἷα ὁμόζηλος, τῶν Ὁσίων γέγονας, ἐν τοῖς καιροῖς, τοῖς ὑστέροις Ἅγιε, ὡς ἐνθεώτατος.

Ὅσιε Πάτερ Λαυρέντιε, καθυπουργῶν τῇ ὀμφῇ, εὐδοκίας τῆς ἄνωθεν, ἐν δυνάμει πίστεως, καὶ νοὸς καθαρότητι, διὰ θαλάσσης τῷ ἐπενδύτῃ σου, πρὸς Σαλαμῖνα τὴν νῆσον ἔφθασας· ὢ τῆς σῆς χάριτος, ἧς λαμπρῶς ἠξίωσαι, παρὰ θεοῦ ! δν δυσώπει σώζεσθαι, τοὺς σὲ γεραίροντας.

Πάτερ θεόφρον Λαυρέντιε, δι᾽ ἐναρέτου ζωῆς, σεαυτὸν μονὴν ἔμψυχον, τῆς Τριάδος ἔδειξας, ὡς φησὶν ὁ Σωτὴρ ἡμῶν· ὅθεν ἐγείρεις τῇ Θεομήτορι, Μονὴν ἁγίαν καὶ περιβόητον, ἣν ἀεὶ

www.tezaurliturgic.ro

φύλαττε, ταῖς σαῖς παρακλήσεσι, τῇ πατρικῇ καυχωμένην σκέπῃ σου, καὶ σὲ γεραίρουσαν.

Πάτερ παμμάκαρ Λαυρέντιε, τῶν ἀρετῶν τῷ φωτί, καταυγάζεις ἑκάστοτε, ὡς ἀστὴρ νεόφωτος, εὐσεβῶν τὰ συστήματα, καὶ Μεγαρέων τὴν πόλιν Ἅγιε, καταγλαΐζεις τὴν σὲ βλαστήσασαν· ἔνθεν ἀγάλλεται, Σαλαμὶς ἡ νῆσός σου, καὶ ἡ Μονή, ἡ ἁγία μέλπει σου, τὰ κατορθώματα.

Δόξα. Ἦχος πλ. α΄.

Ὅσιε Πάτερ, ἀσκητικοῖς ἀγῶσι, τῶν πάλαι Ὁσίων συνόμιλος γέγονας, τῇ θείᾳ πτερωθεὶς ἀγάπῃ· ἐν τῇ τρίβῳ γὰρ αὐτῶν, τὰ τῆς ψυχῆς σου κατευθύνας διαβήματα, ἀκλινῶς ἐπορεύθης, τῆς αἰωνίου ζωῆς τὴν ὁδόν, καὶ τὸ βραβεῖον τῆς ἄνω κλήσεως, ἐπαξίως παρὰ Χριστοῦ ἐδέξω· καὶ νῦν τοῦ ξύλου τῆς ζωῆς, θεουργικῶς ἀπολαύων, Λαυρέντιε μακάριε, πρέσβευε δεόμεθα, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Μακαρίζομέν σε Θεοτόκε Παρθένε...

Δοξολογία μεγάλη καὶ ἀπόλυσις.

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Εἰ μὲν τελεῖται Λειτουργία τοῦ Χρυσοστόμου, ψάλλονται οἱ Μακαρισμοί, καὶ ἐκ τοῦ κανόνος τοῦ Ἁγίου ἡ γ΄. καὶ στ΄. ᾠδή. Ἀπόστολος καὶ Εὐαγγέλιον τῆς ιζ΄. Ἰανουαρίου. Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον...

Εἰ δὲ τελεῖται Προηγιασμένη. Ὁ Προοιμιακός, ὡς συνήθως, τὰ Πρὸς Κύριον... καὶ εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους ι΄. καὶ ψάλλομεν τὸ Ἰδιόμελον τῆς ἡμέρας δίς, τὸ Μαρτυρικόν, τὰ τρία τοῦ Τριῳδίου, καὶ δ΄. Προσόμοια τοῦ Ὁσίου, τὰ τοῦ Μικροῦ Ἑσπερινοῦ, ὡς ἑξῆς :

Ὅτε σοι ἐπέστη μυστικῶς... Ὅτε ἐκ Μεγάρων θαυμαστῶς... Τύπος ἐναρέτου ἀγωγῆς... Χαίροις τῶν Μεγάρων ὁ βλαστός....



Δόξα. Ἦχος πλ. β΄.

Σήμερον ὡς ἔαρ νοητόν... (τοῦ Μεγάλου Ἑσπερινοῦ).

Καὶ νῦν. Θεοτοκίον.

Θεοτόκε σὺ εἶ ἡ ἄμπελος...

Εἴσοδος μετὰ τοῦ Εὐαγγελίου, τὰ Ἀναγνώσματα τοῦ Τριῳδίου, Κατευθυνθήτω, καὶ ἀμέσως ὁ Ἀπόστολος καὶ τὸ Εὐαγγέλιον τοῦ Ὁσίου, ὡς ἀνωτέρω ἐσημειώθη.

Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον.

Μεγαλυνάριον.

Χαίροις τῶν Ὁσίων ὁ μιμητής, καὶ τῶν Μεγαρέων, ἐγκαλλώπισμα ἱερόν· χαίροις Σαλαμῖνος, Μονῆς θεῖος δομήτωρ, καὶ φύλαξ καὶ προστάτης, Πάτερ Λαυρέντιε.

Ἕτερον.

Φύλαττε καὶ σκέπε τὴν σὴν Μονήν, Λαυρέντιε Πάτερ, ἣν ἐδείμω πόνοις πολλοῖς, καὶ δίδου ἐν ταύτῃ, τῇ πατρικῇ χειρί σου, ὁμόνοιαν εἰρήνην καὶ βίον ἔνθεον.

Δίστιχον.

Δέξαι ὦ Λαυρέντιε οἷάπερ δῶρον
Ὃν σοι ὁ Γεράσιμος ἔπλεξεν ὕμνον.